# Ión z Chiu

Fragmenta DK 36 B

ΙΩΝΟΣ ΤΡΙΑΓΜΟΣ

**B 1** = Harpokratión Gramm., Lexicon, s. v. Ἴων

Ἴων ἀναγράφουσι δὲ ἐν αὐτῶι τάδε·

ἀρχὴ δέ μοι τοῦ λόγου· πάντα τρία καὶ οὐδὲν πλέον ἢ ἔλασσον τούτων τῶν τριῶν.

ἑνὸς ἑκάστου ἀρετὴ τριάς· σύνεσις καὶ κράτος καὶ τύχη.

**B 2** /1 = Diogenés Laertios, Vitae philosophorum VIII, 8

Ἴων δὲ ὁ Χῖος ἐν τοῖς Τριαγμοῖς φησιν αὐτὸν [Πυθαγορας] ἔνια ποιήσαντα ἀνενεγκεῖν εἰς Ὀρφέα.

**B 2** /2 = Kléméns Alex., Stromata I, 131,4

Ἴων δὲ ὁ Χῖος ἐν τοῖς Τριαγμοῖς καὶ Πυθαγόραν εἰς Ὀρφέα ἀνενεγκεῖν τινα ἱστορεῖ.

**B 2**/3 = Súda, s. v. Ὀρφεύς

Ὀρφεύς· ἔγραψε Τριαγμούς, λέγονται δὲ εἶναι Ἴωνος τοῦ τραγικοῦ· ἐν δὲ τούτοις τὰ Ἱεροστολικὰ καλούμενα.

**B 3** = Plútarchos, De fort. Rom. 1; 316d

Ἴων μὲν οὖν ὁ ποιητὴς ἐν τοῖς δίχα μέτρου καὶ καταλογάδην αὐτῶι γεγραμμένοις φησὶν ἀνομοιότατον πρᾶγμα τῆι σοφίαι τὴν τύχην οὖσαν ὁμοιοτάτων πραγμάτων γίγνεσθαι δημιουργόν.

Cfr. Plútarchos, Quaestiones convivales VIII 1, 1

ἔφη γὰρ οὐ φαύλως εἰπεῖν Ἴωνα περὶ τῆς τύχης ὅτι πολλὰ τῆς σοφίας διαφέρουσα πλεῖστα αὐτῆι ὅμοια ποιεῖ.

**B 3a** = Varro, De origine linguae Latinae 201 Goetz
ut Ion scribit, quinta et vicesima est littera quam vocant agma, cuius forma nulla est et vox communis est Graecis et Latinis ut aggulus ...

**B 3b** = Lexicum Sabbaiticum, ed. Papadopulos, s.v. αὐτοφρόνων
Ἴων εἴρηκεν· αὐτοφρόνων καὶ ὁμοσπόνδων.

**B 4** = Diogenés Laertios, Vitae philosophorum I, 119-120
φησὶ δὲ Δοῦρις ἐν τῶι δευτέρωι τῶν Ὥρων (Σαμίων fr. 51; FHG II, 481) ἐπιγεγράφθαι αὐτῶι [Φερεκύδης] τὸ ἐπίγραμμα τόδε·

τῆς σοφίης πάσης ἐν ἐμοὶ τέλος· ἢν δ᾽ ἔτι πλεῖον,
Πυθαγόρηι τὠμῶι λέγε [?] ταῦθ᾽, ὅτι πρῶτος ἁπάντων
ἔστιν ἀν᾽ Ἑλλάδα γῆν· οὐ ψεύδομαι ὧδ᾽ ἀγορεύων.

Ἴων δ᾽ ὁ Χῖός φησι περὶ αὐτοῦ·

ὣς ὁ μὲν ἠνορέηι τε κεκασμένος ἠδὲ καὶ αἰδοῖ
  καὶ φθίμενος ψυχῆι τερπνὸν ἔχει βίοτον,
εἴπερ Πυθαγόρης ἐτύμως ὁ σοφὸς περὶ πάντων
  ἀνθρώπων γνώμας εἶδε καὶ ἐξέμαθεν...

**B 5** = Kleonidés, Introductio harmonica 12 (Mus. scr. ed. Jan p. 202, 9)
ἐπὶ μὲν οὖν τοῦ φθόγγου χρῶνται τῶι ὀνόματι [τόνος] οἱ λέγοντες ἑπτάτονον τὴν φόρμιγγα καθάπερ Τέρπανδρος καὶ Ἴων. ὁ μὲν γάρ φησιν· ᾽ἡμεῖς τοι (...) ὕμνους᾽ (fr. 4 Diehl), ὁ δέ·

ἑνδεκάχορδε λύρα, δεκαβάμονα τάξιν ἔχοισα
  εἰς [?] συμφωνούσας ἁρμονίας τριόδους,

πρὶν μέν σ᾿ ἑπτάτονον ψάλλον διὰ τέσσαρα πάντες
  Ἕλληνες σπανίαν μοῦσαν ἀειράμενοι ...